σου, τὴν θείαν μνήμην καὶ εὐφημούντων σου, τοὺς ἄθλους καὶ τὰ σκάμματα, καὶ μετὰ πίστεως, προσκυνούντων τὸ σεπτόν σου Λείψανον, ὃ θυσίαν αὐτῷ προσενήνοχας. Θεοτοκίον.

Φθέγματι λαμπρῷ, γλώσσῃ διατόρῳ τε, τρανῶς ἐκήρυξεν, ὄντως Θεοτόκον σε, ἐν τῷ σταδίῳ Παρθένε ἄχραντε, ὁ θαυμαστὸς Θεόφιλος, καὶ τὴν ἀντίχριστον, τῶν ἀνόμων, πλάνην ἐστηλίτευσε, καὶ τὸ στέφος τῆς νίκης ἀπείληφε.

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὡς τὸν Θεὸν δοξάσας, Θεόφιλε ἐπὶ γῆς, νῦν σὺν Ἀγγέλοις δοξάζῃ, καὶ Μάρτυσιν ἐν οὐρανῷ, τοὺς οὖν ὑμνοῦντάς σε σῶζε, ταῖς ἱεραῖς σου πρεσβείαις.

Θεοτοκίον

Φαεινοτάταις λυταῖς σου, τὰ σκοτεινόμορφα νέφη, τῆς διανοίας μου Κόρη, φώτισον ἀντιβολῶ σε· καὶ δεῖξόν με κληρονόμον, τῆς Οὐρανῶν Βασιλείας.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχος δ.' Καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, Κορεσσίου. Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Ὁ ἱερώνυμος Μάρτυς, θεῖος Θεόφιλος, ὡς ἀπολαύσων ῥόδον δόξης ἐπουρανίου, ἀνέτλη τὰς ἀκάνθας· διὰ πυρὸς, καὶ βασάνων δριμύτητος, καὶ εὐωδίας πληροῦται τῆς μυστικῆς, τῷ Θεῷ νῦν παριστάμενος. Δίς.

Ὁ θεατὴς τῆς μελλούσης μακαριότητος, τοῦ ἀκροτάτου τέλους, διὸ φύσις ἀνθρώπων, ὑπὸ Θεοῦ παρήχθη οὐκ ἀπειλαῖς, οὐδ' αἰκίαις ἐκάμπετο, τοῦ ἀρχετύπου Σωτῆρος εἰκὼν ὀφθεὶς, πλάσιν θείαν καὶ τὰ στίγματα.

Ὁ μιμητὴς στρατιώτης, τοῦ Βασιλέως Χριστοῦ, Πνεύματι προσπαλαίων, ἀκαθάρτῳ καὶ κόσμῳ, σαρκί τε καὶ τυράννῳ, φρόνιμος ἦν, ὄφις πρῶτον κεφάλαιον, τῆς εὐσεβείας τηρήσας, πέλεια δὲ ἀκεραία τε καὶ ἄμωμος.

Δόξα, Ἦχος ά. Κορεσσίου.

Τὸν στεῤῥὸν καὶ ἀήττητον τῆς πίστεως ἀδάμαντα, τὸν μὴ εἴξαντα οὐδὲ πυρὶ οὐδὲ μάστιξιν, οὐδ' ἄλλῃ ἰδέᾳ βασάνων, μόνῳ δ' ἡττηθέντα τῷ τοῦ ἀρνίου αἵματι, συνελθόντες εὐφημήσωμεν· χαῖρε, λέγοντες, Θεόφιλε φερώνυμε, αἵματι μὲν πεφοινιγμένε, οἷόν τι δ' ὄρος καθιδρυσμένε· ἐν μέσῳ τῆς ἐνύλου θαλάσσης, καὶ τῶν προσβολῶν ἀνώτερε· ὅθεν τοὺς ἐκπτώτους τῆς τοῦ Ἀβραὰμ κληρονομίας, εὐθαρσῶς κατημαύρωσας, ϗ διήνυσας ἀνδρικῶς τὴν νίκην τῆς Ἀθλήσεως. Δεήθητι οὖν τοῦ Θεοῦ, Μάρτυς ἀκράδαντε, ἐπιῤῥωννυμένας τῇ πίστει, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Ἁμαρτωλῶν τὰς δεήσεις. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά· ἡ τρίτη ᾠδὴ τοῦ Ἁγίου, καὶ ἡ ἕκτη. Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Μεγαλυνάρια. Νικηφόρου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ